δολοῦσαν ἐξ ἀγαθότητος κεφαλὴν αὐτοῦ ἐκελάδουν ᾆσμα λιγυρὸν καὶ συμπαθὲς ὁ ἄφροντις κόσσυφος καὶ ὁ εὔχαρις κορυδαλός.

(Ἄργος, Ἰούλιος 1887.)

ΔΗΜΗΤΡΙΟΣ Κ. ΒΑΡΔΟΥΝΙΩΤΗΣ.

# ΕΙΣ ΤΗΝ ΒΑΣΙΛΙΣΣΑΝ ΒΙΚΤΩΡΙΑΝ

—

Ἄνδρες τᾶσδε περιρρύτου
γαίας, νῦν θιάσους πρέπει
πᾶσιν χρυσολυρεῖς μέλειν·
ἥκει γὰρ καλον ἦμαρ!
ἐμπλέξει στέφανον κομαῖς
αγ' Β ι κ τ ο ρ ί α ευωνύμος, Αγγλίας
τιμὰς ωγύγιας χέρσιν
νέμουσ', εὔπατρις ἐν γένει.
νῦν πόλος οὐρανοῦ
σχισθεὶς ἀντιβοᾷ, βρέμων
πανδάμοις ἀλαλαγμοῖς!
καὶ σὺ χαιρὲ, γύναι! θρόνους
ἀλύπους κατέχοις ἀεὶ—
Δαίμων σοι βίον ὄλβιον
δοίη· μήποτε Νίκη
παύσαιτ' ἱπταμένη περὶ
τὰν σὰν εὐστέφανον κόμαν·
ναιοὶς ψυχοτακῶν πόρρω
μεριμνῶν ἄπο, καὶ δίκην
σοι πάρεδρον νέμοις—
ιω! ταῦτα θεος πόροι
Σωτήρ. Χαίρε μαλ' αὖθις.

**William Andrew**

ΣΗΜ. — Ἀφορμὴν λαμβάνοντες ἐκ τῆς πεντηκονταετηρίδος τῆς βασιλισσης τῆς Ἀγγλίας, καταχωριζομεν τὸ ποίημα τουτο τὸ συντεθὲν πρὸ πεντηκονταετίας κατὰ τὴν εἰς τὸν θρόνον ἀνάρρησιν αὐτῆς ὑπὸ τοῦ Ἑλληνιστοῦ Reverend Canon Andrew. Ὁ γηραιὸς ἤδη φιλέλλην διακρινόμενος πάντοτε διὰ τὰ πρὸς τὴν Ἑλλάδα αἰσθήματά του, ἐδημοσίευσεν ἄλλοτε ὡραίον ποίημα εἰς τὸν Κανάρην. Μετέφρασεν ἐπίσης εἰς τὴν Ἀγγλικὴν τὸ ἡμερολόγιον τοῦ Μακεδόνος σπουδαστοῦ τῆς εὐπαιδεύτου καὶ καλλιεποῦς ἡμῶν συνεργάτιδος Κας· Ἀρσινόης Παπαδοπούλου. Σημειωτέον ὅτι τὸ ἄνωθι ποίημα ἔχει τονισθῇ κατὰ τὴν ἰδιόρρυθμον ἀγγλικὴν προσῳδίαν, ἐφ' ᾧ καὶ τὸ ἰδιάζον τοῦ τονισμοῦ τῶν λέξεων.